σει μιᾶς τὴν τοῦ μυὸς ὁδὸν ἀνατρέποντα, καὶ κώνωπα διαγράφων ἅμα περισαλπίζοντα θηρίων τὰ ἀρχικά, καὶ παραχρῆμα νήμασιν ἀράχνης συλλαμβανόμενον· ἀλλ᾽ οὗτος μὲν ὁ κώνωψ ὃν ἡ Κύπρος ἐξεῖρψεν, ἔτι τε μὴν ὁ μῦς ὃν ὄρη τὰ Ῥοδόπης ὠδίνησαν καὶ ἀπέτεκον, ἄϊστος οἰχέσθω καὶ ἄπυστος, μὴ δὲ παρ᾽ ἡμῖν γοῦν μεταλαγχάνων ὀνόματος, κατὰ τὸ πάλαι τῶν Ἑλλήνων παράγγελμα περὶ τοῦ τὸν κατ᾽ Ἔφεσον νεὼν ἐμπρήσαντος τῆς Ἀρτέμιδος. Σὺ δ᾽ ὑπὲρ ἡμῶν, μεγάλαθλε βασιλεῦ, λαμπρῶς οὕτω καὶ καλλίστως ἀγωνισάμενος καὶ ψύχει συμμίξας καὶ καύσωνι, καὶ καχεξίᾳ προσπαλαίσας σώματος, καὶ παντοδαποῖς ἄλλοις κινδύνοις προσομιλήσας ἐκγένως, ἐκ τῶν ἐκτὸς, ἐκ τῶν ἔσωθεν, βραχύ τι τῶν γυομόρων καμάτων ἀνόχευσον, καὶ ὡς τόξον ἑαυτὸν ἀνεικὼς τῆς ἐντάσεως, κατὰ παραίφρασιν Σολομώντειον, δεῦρο φάγε μετ᾽ εὐφροσύνης ἄρτον σου καὶ πίε ἐν καρδίᾳ ἀγαθῇ οἶνόν σου, ὅτι ἤδη ηὐδόκησεν ὁ θεὸς τὰ ποιήματά σου· καὶ εἰ μὲν δυνατὸν εἰρηναῖον καὶ ἀστασίαστον εἴη τὸ κράτος σου ἐς ἀεὶ, εἰ δέ τινες καὶ πάλιν κακόσχολοι ῥέζοιεν ἔργα νεώτερα, ἐπὶ τοῦ νώτου τούτων αἱ χεῖρές σου γένοιντο, τοῦ θεοῦ τὰς σωτηρίας σου μεγαλύνοντος καὶ ζωήν σοι βραβεύοντος πολυχρόνιον.

---

Σελέντιον γραφὲν ἐπὶ τῷ ἀναγνωσθῆναι ὡς ἀπὸ τοῦ Λάσκαρη κυροῦ Θεοδώρου, κρατοῦντος τῶν Ῥωμαϊκῶν ἀνατολικῶν χωρῶν, ἡνίκα ἡ Κωνσταντινούπολις ἑάλω ὑπὸ Λατίνων καὶ παρ᾽ ἑαυτῶν ὡς δορύκτητος κατείχετο μετὰ καὶ τῶν ἑσπερίων Ῥωμαϊκῶν χωρῶν.

Σάλπιγξ ἔστι μὲν καὶ πολεμικὴ, ἔστι δὲ καὶ πνευματική· καὶ τῆς μὲν ἠχησάσης τὸ ἐνυάλιον, ὁ τῷ στρατολογήσαντι ἀρέσαι προθέμενος στρατιώτης, ἔνθους τὸν Ἄρεα εἴσεισι, πῦρ